αἴσωπος, ναί. ὁ ξένος ἔφη, ἐγὼ ἀγροικός εἰμι, οὐδένα ἐπίσταμαι. αἴσωπος ἐκείνου, φησί, δοῦλος εἰμί. ὁ ξένος ἔφη, καὶ τί ἠρώτησα πότερον δοῦλος ᾖ ἢ ἐλεύθερος, ἐμοί τί διαφέρει. αἴσωπος ἔφη, ἀγαθά σοι γένοιτο. ἀκολούθει μοι, κἀγώ σοι δώσω τὸ ἀργύριον μετὰ καὶ ἀείσου. ἀγαγὼν δὲ αὐτὸν εἰς τὴν οἰκίαν καθεῖλε τὰ ξυλάρια δεδωκὼς τὸ τίμημα, καὶ φησί, ὁ δεσπότης μου ἐρωτᾶ σε αὐτῷ ἀριστῆσαι. ὁ δὲ ἀγροῖκος οὐ περιεργασάμενος διὰ ποίαν αἰτίαν καλεῖται εἰσελθὼν σὺν τῷ πηλῷ καὶ τοῖς ὑποδήμασιν, οὕτως ἀνέπεσεν. ὁ δὲ ξάνθος ἔφη, τίς οὗτος. αἴσωπος ἔφη, ἄνθρωπος ἀπερίεργος. ἰδὼν δὲ αὐτὸν ἐκεῖνος ἀγροῖκον ὄντα, λέγει τῇ γυναικί, κυρία ὑποκρίθητί μοι, ἵνα δαμάσω τὸν αἴσωπον. ἡ δὲ ἀναστᾶσα καὶ ὕδωρ εἰς λεκάνην βαλοῦσα, προσέφερε τῷ ξένῳ, ἐνίψουσα

http://digital.slub-dresden.de/ppn346259193/55